# Fragmenta in epistulam ad Romanos

Οὐ ῥήματος ἀλλὰ καιροῦ; καὶ γὰρ πρώτοις Ἰουδαίοις τὸ εὐαγγέλιον ἐξηχήθη, καθ' ὅτι καὶ ἐξ Ἰουδαίων ὁ Χριστός, καὶ ἐν Ἰουδαίᾳ τὰ τῆς ἐπιδημίας αὐτοῦ.

Rom 1,18 Ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ. ἡ αἰτιο λογία αὕτη πρὸς τὸ ἀνωτέρω εἴρηται. ἐπειδὴ γὰρ δικαιοσύνην ἔφη θεοῦ ἀποκαλύπτεσθαι ἐκ πίστεως εἰς πίστιν, ἡ δὲ δικαιοσύνη τοῦτό ἐστιν, ἡ ἑκάστῳ πρὸς ἀξίαν ἀπονέμουσα, διὰ τοῦτό φησιν ὅτι ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ, ὡς εἰ ἔλεγεν· ζητεῖς τὰ τῆς κατηγγελμένης ἡμῖν δικαιοσύνης θεοῦ ἔργα; εὑρήσεις ἀφ' ὧν ἀποδίδωσιν ἑκάστῳ εἰς ὕστερον κατὰ τὰ ἔργα αὐτοῦ· πρότερον δὲ τὰ ἀπὸ τῆς ὀργῆς τοῦ θεοῦ βραβευόμενα τοῖς ἀξίοις προτίθησι διὰ τὴν τηνικαῦτα ἐπιπολάζουσαν ἀσέλγειαν καὶ ἀκαθαρσίαν ἧς καὶ τὰ εἴδη διέξεισιν, εἶτα δὲ καὶ τὰ ἀπὸ τῆς εὐμενείας, οὕτω πως φάσκων· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ. ἐπαναλαβὼν γὰρ πάλιν τὸν λόγον ἀποδίδωσι συντομώτερον τί τὰ κατ' ἀξίαν ἑκάστῳ ἀποδιδόμενα.

Rom 1,19 Οὐκ εἶπεν ἡ γνῶσις τοῦ θεοῦ, ἀλλὰ τὸ γνωστόν· διὰ γὰρ τοῦ γνωστοῦ ἡ περὶ θεοῦ γίνεται γνῶσις. γνώσει μὲν γὰρ ἁπλῶς γινώσκεται τὰ γνωστά, ἡ αἰσθητή, φημί, κτίσις, ἐκ τούτων δὲ ὁ θεός· ἐκ γὰρ μεγέθους καὶ κάλλους κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. Ro+m 2,7 Τὸ ἑξῆς οὕτως· τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρ σίαν. τὸ δὲ καθ' ὑπομονὴν ἀντὶ τοῦ κατὰ προσδοκίαν φησίν· ὡς 654 ἐπὶ πᾶν γὰρ παρὰ τῇ γραφῇ τὸ ὑπομένειν ἀντὶ τοῦ προσδοκᾶν λαμ βάνεται, ὡς τὸ ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ τὸ καθάπερ ὑπέμειναν τὴν ψυχήν μου ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς. Ro+m 2,13 Γράμμα μὲν νομικὸν οὐκ ἔχουσι τὰ ἔθνη, τὰς δὲ πράξεις ὥσπερ τινὰ γράμματα τῇ ψυχῇ περιφέρουσιν· ὥστε μὴ μεταφρονείτω ὁ τῆς μὲν Μωϋσέως ἀκούων βίβλου, αὐτῇ δὲ μὴ πειθόμενος. Ro+m 2,15 Κἀνταῦθα τὸ καὶ παρέλκεται· ἡ γὰρ συνείδησίς ἐστιν ἡ μεταξὺ ἀλλήλων τῶν λογισμῶν δοκιμαζομένη καὶ συγκαταθεμένη.

Rom 2,27 Τὸ τελοῦσα εἰ μὲν τοῖς πρὸ αὐτοῦ διασταλῇ τῇ στιγμῇ, σημαίνει τὸ ἡ ἀκροβυστία κατὰ τὸν νόμον ζῶσα, μὴ νόμῳ ὑποκειμένη· εἰ δὲ τοῖς κάτω, τῆς στιγμῆς πρὸς τὸν νόμον τιθεμένης τὸ τελοῦσα τότε ἀντὶ τοῦ ἀποφαίνουσα λαμβάνεται.

Rom 3,9 Τὰ ἀκριβέστερα τῶν ἀντιγράφων καὶ ἀρχαιότερα οὐκ ἔχει προεχόμεθα, ἀλλὰ τί οὖν κατέχομεν περισσόν; Δύο σημαίνειν δύναται τὸ προεχόμεθα· ἤτοι τὸ περισσότερον κατακρίνεσθαι, ἐπεὶ καὶ ἔνοχόν φαμεν τὸν κατάκριτον· σημαίνειν δὲ δύναται καὶ τὸ προκεκρίσθαι, καθό φαμεν· προέχει ὅδε τῷδε εἰς ἀρετήν. κατὰ μὲν οὖν πρῶτον βούλεται δηλοῦν τὸ προεχόμεθα τὸ κατα κεκρίσθαι ἐπὶ τοιαύτῃ ἐννοίᾳ. τί οὖν; πρὸ παντὸς ἔθνους κατάκριτοι Ἰουδαῖοι, ἅτε τῇ δόσει τοῦ νόμου πάντων ἐθνῶν προτετιμημένοι μέν, μηδενὸς δὲ τούτων βελτιωθέντες; καί φησιν· οὐ πάντως· ἐξ ὁμοτίμου γὰρ πάντες ἥμαρτον, καὶ οὐκ ἂν ἔχοιεν ἡμῶν οἱ μὴ κατὰ νόμον κατα καυχᾶσαι, ὡς αὐτοὶ μᾶλλον ἡμῶν ἐπ' ἀρετῇ εὐδοκιμηκότες. κατὰ δὲ τὸ δεύτερον σημαινόμενον καθαίρειν βούλεται τὴν αὐθάδειαν Ἰουδαίων ἐπὶ τῇ τοῦ νόμου ὑποδοχῇ, καὶ δείκνυσιν ὡς οὐδὲ προτιμητέοι τῶν ἄλλων ἐθνῶν Ἰουδαῖοι διὰ τὸν νόμον, ἐπὰν καὶ αὐτοὶ ὁμοίως τοῖς ἄλλοις τῆς τοῦ θεοῦ χρηστότητος ἐπιδεεῖς. 655 Ro+m 5,5 Ἐντεῦθεν, οἶμαι, καὶ ὁ μακάριος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Γρηγόριος ὁ θεολόγος ἀφορμὴν εἰληφὼς φάσκει τὸ εἰς τοῦτο γὰρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας καὶ ὅσα ἑξῆς.

Rom 5,14 Ἡ βασιλεία ἐν τῇ ἑκουσίῳ τῶν ὑποκειμένων γίνεται ὑποταγῇ, ὥσπερ καὶ ἡ τυραννὶς ἐν τῇ ἀκουσίῳ. ἐπεὶ τοίνυν οὐδεὶς ἀνεχαίτιζε νόμος τὸ ἁμαρτάνειν, εἰκότως καὶ βασιλεύειν ὁ δι' ἁμαρτίας τὸ κράτος λαβὼν θάνατος λέγεται· τοῦ νόμου γὰρ παρεισελθόντος καὶ τὸ ἁμαρτητικὸν ὅλον καὶ οἷον ὑποδείξαντος, οὐκέθ' ὁμοίως ἀδεῶς ἄνθρω ποι ἐξημάρτανον οὐδὲ μὴν κατὰ τὸ ἑκούσιον πάντη. τοῦ δι' ἑκουσίου ἀνῃρημένου τοῦ τὴν βασιλείαν τῷ θανάτῳ κατωρθωκότος, εὐλόγως καὶ οὗτος ἀποσυλᾶσθαι τοῦ κράτους ἀπήρξατο. πῶς; καθ' ὅτι καὶ ὁ νόμος οὐ μάτην τὴν ἁμαρτίαν ἀνέστελλεν, ἀλλὰ τὸν τοῦ θανάτου προοδοποιῶν ὄλεθρον. εἰ γὰρ ἡ ἁμαρτία ἐν παραδείσῳ τὸν θάνατον ἀνεβλάστησεν, πάντη που δῆλον ὡς τὸ τὴν ἁμαρτίαν κωλύον τῆς ἐξουσίας ἀποστερεῖν ἐπείγεται τὸν ἐκ ταύτης ἰσχύσαντα. οὐκοῦν μετὰ νόμον ὁ θάνατος οὐ βασιλεύων ὡρᾶτο, ἀλλ' ἢ ἄρα τυραννῶν. Ro+m 5, Ἵνα πλεονάσῃ. οὐδὲν λυμανεῖται τῷ σημαινομένῳ καὶ κατ' αἰτιολογίαν ὁ σύνδεσμος κείμενος· πρὸς γὰρ τῇ φυσικῇ γνώσει τῶν αἱρετέων καὶ μὴ ἔτι καὶ τὸ ἐκ νόμου παρεισελθὸν ἀκριβές, ἄπειρον ὅσον τὸ ἁμαρτητικὸν ἡμῖν προαπέδειξεν. τῶν βαρυτέρων μὲν τῇ φυσικῇ κρίσει ἀνειργομένων μόνων ἁμαρτημάτων, τῷ νόμῳ δὲ καὶ τῶν κουφοτέρων εἰς ὄγκον ἁμαρτημάτων καταλογιζομένων, ἵνα οὖν τὸ πλῆθος ὅσον φανερωθῇ τῶν παραπτωμάτων, εἰκότως παρεισῆλθεν ὁ νόμος, ὡς ἂν καὶ πᾶν τὸ διαστραφὲν θεραπευθείη τῆς ἰατρείας πρὸς τὸ φανὲν μόνον ἐπαγομένης τοῦ κάμνοντος.

Rom 6,10 Ἔστι καὶ οὕτως νοῆσαι τὸ χωρίον· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. ὥσπερ οὐ διὰ τὴν οἰκείαν ἀπέθανεν ἁμαρτίαν ὁ μὴ ἁμαρτίαν εἰδώς, ἀλλὰ τὸ κοινὸν τῇ φύσει ὀφείλημα ἐκτιννύς, ὑπείκειν παραχωροῦντος τοῦ συνημμένου θεοῦ τῇ σαρκὶ τῷ τοῦ προπάτορος ὑπάγεσθαι κατακρίματι, οὕτω καὶ νῦν, φησί, ζῇ τοῦ συνουσιωμένου αὐτῇ φύσει θεοῦ τὸ ὀφειλό
656 μενον ἀποκαταστήσαντος ταύτῃ. τί τοῦτο; τὸ ὥσπερ ἁμαρτίας διετηρήθη ἀνέπαφος, οὕτως καὶ τοῦ ἐκ ταύτης ἐπιτιμίου γενέσθαι ἀδούλωτον, δι' ὃ καὶ τῶν δεσμῶν τοῦ θανάτου ἀπέδρα καὶ πρὸς παλινζωΐαν ἀνέδραμεν. καὶ ἐπειδὴ τούτων ἁπάντων οὐκ ἄλλο ἢ τὸ ἐν τῷ Χριστῷ θεῖον παραίτιον, διὰ τοῦτο ζῆν λέγεται τῷ θεῷ, ὡς εἴ τις ἐρεῖ· εἰ διὰ τὸ σαρκὸς μετασχεῖν τὸν θεάνθρωπον ἡ τῆς σαρκὸς αὐτὸν κατέδραμε τυραννίς καὶ ταῦτα οὐκ ἐνδίκως· οὐ γὰρ ὑπήχθη τῷ αἰτιάματι τοῦ θανάτου εἰκότι ἂν λόγῳ καὶ διὰ τὸ θεὸν τὴν σάρκα ταύτην περιβεβλῆσθαι τὸ τοῦ θεοῦ ἀείζωον ταύτην κατακληρονομεῖν. ἄλλως τε· καὶ ἵνα ᾖ καὶ εἰς ὑπόδειγμά τε καὶ ἀπαρχὴν τῶν κατ' ἐκείνην, εἰ καὶ μὴ πάντη τὴν ἁμαρτίαν ἀποσκευαζομένην, οἳ καὶ εἰς ὀφειλόμενον ἀναβιώσονται, εἰ καὶ ἀφάτῳ τοῦ λύτρον τὸ οἰκεῖον αἷμα σπείσαντος συμπαθείᾳ, καὶ τοῖς μηδὲν πεπονηκόσιν ἡ τῆς παλινζωΐας χάρις προσνέμεται. Ro+m 6,11 Ἀντὶ τοῦ οἱ διὰ τὴν ἁμαρτίαν ὑπαγόμενοι τῷ θανάτῳ, διὰ τὴν ἐν Χριστῷ ζῶντες δικαιοσύνην· ἀκολουθότερον γὰρ τοῦτο τῇ προσαποδεδομένῃ ἐννοίᾳ καὶ τῷ τοῦ λόγου εἱρμῷ. Ro+m 6,12 Εἰ θνητὸν τὸ σῶμα, ἀνόνητον τὸ ταῖς ἐπιθυμίαις ὑπείκειν αὐτῷ, ὡς εἰς οὐδὲν πονούντων τῶν καθυπηρετούντων, ἀλλὰ ταὐτὸν πασχόντων τοῖς καθ' ὕδατος γράφουσι καὶ καθ' ὁδοῦ σπείρουσιν.

Rom 6,17®19 Δύναται καὶ εἰς ἐγκώμιον αὐτῶν εἶναι τοῦτο ὡς καὶ τὸ ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. ἐπειδὴ γάρ, φησίν, ὑπηκούσατε ἐκ καρδίας, κατὰ πόδας ὑμῖν καὶ ὁ ἀξιόχρεως μισθὸς ἐπακολουθεῖ. τίς οὗτος; τὸ κατὰ πάσης ἐξηχηθῆναι τῆς γῆς τὸ δοκίμιον ὑμῶν, καὶ τύπον ὑμᾶς ὑπάρξαι τοῖς λοιποῖς καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κανόνα τῷ τοῦ Χριστοῦ εὐαγγελίῳ εὐάρμοστον. 657 Τὸ ἀνθρώπινον λέγω τοιοῦτον· ἐπειδὴ οὐχ οἵα τε ἡ ἀνθρωπίνη ζωὴ ἐν ἀπραξίᾳ ὅλως διαβιώσκειν, ἀλλὰ τῇ ἐφ' ἑκατέρᾳ τῶν πρακτέων ῥοπῇ ταλαντεύεσθαι, τούτου χάριν μετὰ τὸ τὴν ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν ἐπενεγκεῖν τὴν δούλωσιν τὴν ὑπὸ τὴν δικαιοσύνην, ἐπήγαγεν τὸ ἀνθρώπινον λέγω. καὶ γὰρ προΐσατο τῷ λόγῳ. καὶ τί; μὴ ὅλως ἐλεύθεροι ἀφείμεθα, ἀλλὰ πάλιν ὑπὸ δουλείαν ἀγόμεθα; καί φησιν· οὐ δύνασθε ἐν ἀργίᾳ διαβιοῦν· ἐργασίας γὰρ ἐν τῇ σαρκίνῃ ζωῇ ὁ καιρός. ὡς ἂν οὖν μὴ ἀναθέντες τῶν ἀπὸ τῆς ἁμαρτίας ἔργων, εἶτα σχολάζοντες πάλιν ὑπὸ τῆς ἁμαρτίας διώκησθε, διὰ τὸ μὴ δύνασθαι τὸ βαρὺ τοῦτο καὶ ἀστάθμητον σαρκίον ἀτρεμεῖν πάντη, κάλλιστον τῷ ὄντι τὴν ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν τὴν δούλωσιν διαδέξασθαι τῆς δικαιοσύνης, καὶ τοσαύτην ἐπιδείξασθαι καὶ ὑπὲρ ταύτης σπουδὴν ὅσην καὶ ἐπὶ τῆς ἁμαρτίας. οὐδὲ γὰρ πλέον ζητῶ καίτοι γε χρεών, ἀλλὰ προμηθῶς τὸ ἀνάλογόν φημι καὶ ὧπερ ἡ ἀνθρωπίνη ζωὴ καὶ ῥέουσα ὑποβάλλεται. Ro+m 6,23 Ὀψώνιον ὁ στρατιωτικὸς λέγεται μισθός. ἐπεὶ τοίνυν οἱ τῇ ἁμαρτίᾳ ὑποταττόμενοι ὡς ὑπὸ στρατηγῷ ἀγόμενοι τῷ διαβόλῳ, τὸ ἐκείνῳ δοκοῦν ἐκτελοῦσιν, εἰκότως ἐπαξίους ἐκείνου καὶ τοὺς μισθούς, ἤτοι τὰ ὀψώνια ἀποφέρονται. Ro+m 7,5 Προσυπακουστέον τὸ γνωσθέντα μοι. Ro+m 9,3 Οὐ χωρίζει τοῦτο, συσφίγγει δὲ μᾶλλον αὐτὸν τῷ Χριστῷ καὶ συντήκει καὶ ἑνοῖ· ὁ γὰρ τῷ ἀγαπωμένῳ ἐκθύμως τοὺς συγγενεῖς καταλλάσσειν εὐχόμενος, εἴ που ἂν αὐτὸς ἀνάσχοιτο τούτου ἀποστατεῖν, ἀλλ' οὐχὶ τῷ ὁρμαθῷ τῶν φιλτάτων συναγελάζεσθαι ποθεῖ καὶ συντάττεσθαι. ὅπερ οὖν αὐτὸν ἀπάγειν τῆς τοῦ διδασκάλου ἀγάπης δοκεῖ, τοῦτο τὰ μάλιστα βεβαιοῖ, καινόν τινα τρόπον τῆς διαστάσεως συσφιγγούσης καὶ συντήκοντος τοῦ χωρίζεσθαι καὶ ἑνοποιοῦντος τοῦ ἀφιστάνοντος.

Rom 9,6 Τὸ διὰ τούτων νοούμενον τοιοῦτον· μηδεὶς ὁρῶν τὴν τῶν ἐθνῶν εἰσαγωγὴν οἰέσθω τὸν τοῦ θεοῦ λόγον διαπεσεῖν, τὸν ἐξ Ἰσαὰκ μόνου 658 τῷ Ἀβραὰμ ἀνεγείροντα τέκνα καὶ τούτοις μόνοις τὴν κατὰ Χριστὸν χάριν κατακληρονομοῦντα. κατ' ὀφειλήν, εἴγε καὶ Χριστὸς αὐτὸς οὐκ ἄλλοις ἢ τοῖς ἀπολωλόσιν ἀπεστάλθαι τοῦ Ἰσραὴλ προβάτοις εὐαγγελίζεται. οὐχ οἷόν τε γὰρ τοῦτο, οὐδὲ δυνατὸν ἐκπεσεῖν τὸν λόγον τοῦ θεοῦ τὸν πρὸς Ἀβραάμ· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι μόνοι Ἰσραήλ· καὶ ὅσα ἑξῆς. Οὐχ οἷον δὲ ἀντὶ τοῦ οὐδὲν τοιοῦτό φημι, ὅτι εἴ τινες ἠπίστησαν, ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ καὶ αἱ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελίαι καὶ αἱ πρὸς τοὺς υἱοὺς Ἰσραήλ. Οὐχ οἷον δὲ ἀντὶ τοῦ ἀδύνατον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ, τοῦτ' ἔστι τοῦτο ἀδύνατον ἐννοεῖν, ὅτι ἐκπέπτωκε ὁ λόγος τοῦ θεοῦ· τὸ γὰρ οἷον οὐ μόνον ὁμοίωσιν σημαίνει ἀλλὰ καὶ τὸ δυνατόν. Πλάτων· «ὡς ἐγὼ οὐδενὶ οἷός τέ εἰμι πείθεσθαι τῶν ἐμῶν, πλὴν τῷ λόγῳ ὃς ἄν μοι λογιζομένῳ ὀρθὸς φαίνηται «.

Rom 9,22 Οὐχ ὑπὸ θεοῦ κατηρτισμένος, ἀλλ' ἑαυτὸν καταρτίσας. Rom 9,24 Προσυπακουστέον κἀνταῦθα τὸ ἤνεγκεν.

Rom 11,12 Ἀντὶ τοῦ ἡ ἐκβολὴ αὐτῶν καὶ ὁ σκυβαλισμὸς οὗτος. τί ἄρα ἡ εἰσαγωγὴ αὐτῶν καὶ εἰσοίκησις; Rom 11,16 Ἀντὶ τοῦ γὰρ κεῖται ὁ δὲ σύνδεσμος ὡς πολλαχοῦ· περὶ γὰρ τῶν προπατόρων ὁ λόγος, περὶ Ἀβραὰμ καὶ τῶν μετ' ἐκεῖνον. Ro+m 12,11 Ἐν ὑπερθέρμῳ καὶ διακαεῖ προαιρέσει τῷ κυρίῳ δουλεύοντες· οὕτω γὰρ διατεθεικότες ἑαυτοὺς καὶ ταῖς θλίψεσι περιχαρῶς διακεισόμεθα, καὶ ὑπὸ τὴν μένουσαν ἐλπίδα τἄλλα πάντα ῥᾳδίως ὑποίσομεν. 659

Rom 12,16 Ἀντὶ τοῦ κοινὸν οἵου τὸ τῷ πλησίον ἐπισυμβάν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Rom 13,11 Τοιοῦτό τι λέγει· καὶ τοῦτο, φησί, ποιεῖτε πληροῦντες τὸν νόμον καὶ εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἤδη ἡμᾶς ὡς ἐξ ὕπνου ἐγερθῆναι. Rom 13,12 Ἀντὶ τοῦ προβέβηκεν, ἐπὶ τὸ βραχύτερον χωρεῖ.

Rom 15,8 Ἀντὶ τοῦ διηκόνησε τῇ περιτομῇ τὸ ὀφειλόμενον αὐτῇ ἀποκαταστήσας. τί τοῦτο; τὸ δι' αὐτῆς εὐλογηθῆναι πάντα τὰ ἔθνη· ἐν τῷ σπέρματι γάρ σου, φησίν, ἐνευλογηθήσονται πάντα τὰ ἔθνη τῆς γῆς. ἐν οἷς οὖν οὐδεὶς τῶν ἄλλων τοῦ σπέρματος Ἀβραὰμ οἷός τε γέγονεν ἀποπερᾶναι τοῦτο, διὰ τοῦτο Χριστὸς ὑποδὺς τὴν περιτομὴν καὶ δι' αὐτῆς πάντα τὸν νόμον πληρώσας οἱονεὶ ὑπούργησε ταύτῃ εἰς τὸ μὴ διαπεσεῖν τὰς τοῦ θεοῦ πατρὸς ἐπαγγελίας.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.